ΙΗ' ΈΚΑΤΟΝΤΑΈΤΗΡΙΣ.

Δοσίθεος Πατριάρχης Ἱεροσολύμων, Πελοποννήσιος, ἐξ Ἀραχώβης κώμης τοῦ δήμου Φελλόης τῆς ἐπαρχίας Καλαβρύτων. Ὁ Δοσίθεος ἐν ἔτει 1666 ἐχειροτονήθη μητροπολίτης Καισαρείας τῆς Παλαιστίνης ὑπὸ τοῦ Πατριάρχου τῶν Ἱεροσολύμων Νεκταρίου, ὅν διεδέξατο εἰς τὸν πατριαρχικὸν θρόνον ἐν ἔτει 1669 Ἰανουαρίου 23. Ὀκτὼ δὲ καὶ τριάκοντα ἔτη πατριαρχεύσας ἐτελεύτησεν ἐν Κωνσταντινουπόλει τῇ 7 Φεβρουαρίου τοῦ ἔτους 1707. Περὶ τοῦ Πατριάρχου τούτου ὁ μὲν Ἀλέξανδρος Ἑλλάδιος λέγει, ὅτι ἦν εἰδημονέστατος τῆς Τουρκικῆς, Ἀραβικῆς, Ῥωσσικῆς, Γεωργικῆς, Ἑλληνικῆς καὶ Λατινικῆς φωνῆς(α)· ὁ δὲ ἀοίδιμος Οἰκονόμος λέγει τάδε. „Οὗτος ὁ πανευκλεὴς καὶ τρισμακάριστος Πατριάρχης, οὐ μόνης τῆς ἁγίας πόλεως ἐγένετο ποιμήν, ἀλλὰ καὶ παντὸς τοῦ τῶν ὀρθοδόξων πληρώματος διδάσκαλος ἀνεφάνη σοφώτατος καὶ καθηγητὴς τῶν ἀρχαίων Πατέρων τῆς τοῦ Χριστοῦ ἐκκλησίας ὁμόζηλος, πολλὰ μὲν ὑπὲρ τῆς ὀρθοδοξίας ζηλώσας, πολλὰ δὲ καὶ λόγοις καὶ ἔργοις πονήσας, καὶ κάλλιστα κειμήλια τοῖς εὐσεβέσι καταλιπὼν τὰς βίβλους, ἃς ἐξέδωκεν. Εἰσὶ δὲ αὗται. α) Τόμος Καταλλαγῆς (ἐξεδόθη τῷ 1692), καὶ β) Τόμος Ἀγάπης (τῷ 1698), καὶ γ) Τόμος Χαρᾶς (τῷ 1705), καὶ δ) Ἱστορία περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων, μετὰ θάνατον αὐτοῦ ἐκδοθεῖσα (τῷ 1715). Ἐν μὲν οὖν τοῖς Τόμοις συνέγραψε μὲν ἴδιά τινα καὶ αὐτός, τὸ δὲ πλεῖστον ἐξέδωκεν ἄλλων ἐκκλησιαστικῶν συγγραφέων, πρὸ τοῦ Φλωρεντινοῦ συνεδρίου, τινῶν δὲ καὶ ὕστερον ἀκμασάντων, ἀνέκδοτα συγγράμματα, δι' ὧν τὰ δόγματα τῆς

(α) Linguae Turcicae, Arabicae, Moscoviticae, Georgicae, graecae et Latinae peritissimus erat. Alex. Ellad. Status praes. Eccles: Graec. p. 15. Βλ. καὶ Παλαμᾶ Ἱεροσολυμιάδα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ